**TEZAUR LITURGIC**

**25 APRILIE**

**HARALAMBOS BOUSIA**

# PARACLISUL SF.APOSTOL ŞI EVANGHELIST MARCU

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 25ΑΠΡΙΛΙΟΥ
# Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι είς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς συγγραφεὺς Εὐαγγελίου τοῦ θείου, πλουσίαν χάριν οὐρανόθεν ἐδέξω, ἀρήγειν τοῖς τιμῶσί σε καὶ σκέπειν ἀεί, τοὺς ὡς θεοκίνητον, σὲ ὑμνοῦντας γραφίδας, τοῦ Χριστοῦ τὴν δύναμιν, δι' ἀπείρων θαυμάτων, ἐνεργουμένην πᾶσι τοῖς βροτοῖς, θεόφρον Μᾶρκε, σαφῶς καταγράψασαν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Εὐαγγελιστοῦ Μάρκου, λιτὰς αἰτοῦμαι. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Εὐΐλατον Κύριον καὶ Θεόν, ἱκέτευε Μᾶρκε, ὑπὲρ πάντων τῶν εὐλαβῶς, τιμώντων σου μνήμην τὴν ἁγίαν, πνευματοκίνητε θεῖε Ἀπόστολε.

Υἱὲ τῆς Μαρίας τῆς εὐσεβοῦς, Βαρνάβα τοῦ πάνυ, αὐταδέλφης υἱοὺς φωτός, ἀνάδειξον Μᾶρκε τοῦ ἀστέκτου, ἡμᾶς τοὺς πίστει καὶ πόθῳ ὑμνοῦντάς σε.

Ἀπόστολε Μᾶρκε θεοειδές, Βαρνάβα καὶ Παύλου, συνοδῖτα καὶ συνεργέ, ὁ Κύπρον σαφῶς περιοδεύσας, πρὸς σωτηρίας ἡμᾶς τρίβους ἴθυνον.

*Θεοτοκίον.*

Γινώσκοντες πάντες Σὲ ἀρωγόν, ταχεῖαν Παρθένε, ἀντιλήπτορα βοηθόν, καὶ ῥῦστην ἐκ πάσης βίου ζάλης, τῇ πανευσθενεῖ Σου προσπίπτομεν χάριτι.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Γραμματεὺς χρηματίσας τῆς τοῦ Χριστοῦ πίστεως, Μᾶρκε κορυφῆς Ἀποστόλων, Πέτρου παρέδωκας, ἡμῖν τὰς θείας ἀρχάς, τοῖς σὲ τιμῶσιν εὐσχήμως, καὶ τῇ ἀντιλήψει σου, σπεύδουσι πάντοτε.

Ἐκκλησίας κοσμῆτορ καὶ συγγραφεῦ ἔνθεε, τοῦ Εὐαγγελίου τοῦ θείου, Μᾶρκε τὸν Κύριον, μὴ διαλίπῃς ἀεί, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν ἀνευφημούντων σε, ὡς βάθρον πίστεως.

Λυτρωθῆναι μανίας τοῦ βδελυροῦ ὄφεως, καὶ αὐτοῦ δεινῆς κακουργίας, Μᾶρκε τοὺς σπεύδοντας, τῇ σῇ θερμῇ ἀρωγῇ, Χριστὸν ἀπαύστως δυσώπει, Οὗ τὸ θεῖον ὄνομα, κόσμῳ ἐκήρυξας.

*Θεοτοκίον.*

Ἰησοῦ παναγάθου Μῆτερ ἁγνὴ πρόσδεξαι, τὰς ἱκετηρίους δεήσεις, τῶν προστρεχόντων Σοι, καὶ τῶν

πταισμάτων ἡμῶν, ἐξαίτει ἄφεσιν πάντων, ὡς Θεογεννήτριαν, τῶν εὐφημούντων Σε.

Διάσωσον, πνευματοκίνητε Μᾶρκε τοὺς σὲ ὑμνοῦντας, ἀπὸ πάσης ἐπιβουλῆς ἐχθροῦ τοῦ ἀλάστορος, ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Οἰκεῖε Χριστοῦ καὶ συνεργὲ ἀκάματε, Αὐτοῦ μαθητῶν, τὸ θεῖον Εὐαγγέλιον, ὁ συγγράψας δώρησαι τοῖς ἱκέταις σου, ἄμφω ὑγείαν τοῖς σὲ τιμῶσιν, ὕμνοις μελιχροῖς ἑκάστοτε, Μᾶρκε πνευματέμφορε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Σῶν γραφῶν τοῖς πυρσεύμασι, Μᾶρκε ὁ φωτίσας τοῦ κόσμου πέρατα, φώτισόν μου τὴν σκοτόμαιναν, τὴν ζοφώδη βίου τοῦ ἀνόμου μου.

Τὸν σεπτὸν χριστοκήρυκα, τῆς Ἀλεξανδρείας καὶ ἀρχιποίμενα, Μᾶρκον ὕμνοις μεγαλύνοντες, τὰς αὐτοῦ θερμὰς λιτὰς αἰτούμεθα.

Ὁ τοῦ Παύλου συνέκδημος, ἐν δεσμοῖς ἀπάλλαξον τοὺς ἱκέτας σου, τῶν δεσμῶν φιλαμαρτήμονος, βίου Μᾶρκε πάνσοφε Ἀπόστολε.

*Θεοτοκίον.*

Ὑπερόπτας ἀνάδειξον, σχέσεων προσύλων τοὺς Σὲ γεραίροντας, Θεοτόκε ἀειπάρθενε, καὶ προσδεχομένους τὴν Σὴν εὔνοιαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Μᾶρκε θεαυγές, σὺν τῷ θείῳ κατὰ σάρκα σου, τῷ Βαρνάβᾳ ὁ κηρύξας τὸν Χριστόν, ἐν τῇ Κύπρῳ δίδαξόν με τὰ σωτήρια.

Ἄνθος μυριστόν, Ἐκκλησίας Μᾶρκε πάντιμε, εὐωδίασον ἡμῶν τὴν βιοτήν, ἀμωμήτοις λογισμοῖς καὶ θείαις πράξεσι.

*Θεοτοκίον.*

Κόπασον παθῶν, ζοφερῶν ἡμῶν τὸν τάραχον, Θεοτόκε καὶ πρὸς ὅρμον γαληνόν, ἀπαθείας τοὺς οἰκέτας Σου ὁδήγησον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ὁ ἄοκνος, τοῦ Χριστοῦ Ἀπόστολος, Εὐαγγέλιον Αὐτοῦ ὁ κηρύξας, ἐν τῇ Αἰγύπτῳ καὶ Ἀλεξανδρείας ἀρχιερεύς, Μᾶρκε πρῶτος γενόμενος, μὴ διαλίπῃς τὸν Θεόν, ἱκετεύων ὑπὲρ τοῦ ποιμνίου σου.

Ὑμνοῦμέν σε, μαθητὴν τὸν τίμιον, τῆς τριάδος Πέτρου Παύλου Βαρνάβα, τῶν κορυφαίων Χριστοῦ Ἀποστόλων, καὶ ὑφηλίου κηρύκων κραυγάζοντες· γενοῦ ἡμῖν καταφυγή, ἐν ἀνάγκαις τοῖς σὲ μακαρίζουσι.

Λοιμώττοντας, ἀνιάτως πρόσφυγας, τοὺς σοὺς νόσου ἀποκάθαρον τάχος, ὡς ἰατρόν, τῶν ψυχῶν καὶ σωμάτων, τοὺς σὲ γεραίροντας Μᾶρκε Ἀπόστολε, Εὐαγγελίου ἱεροῦ, τοῦ Χριστοῦ συγγραφεῦ ἐνθεώτατε.

*Θεοτοκίον.*

Ἰθύντειρα, τῶν πιστῶν πρὸς θέωσιν, Παναγία Θεοτόκε Παρθένε, τῆς μετανοίας ὑπάνοιξον πύλας, τοῖς Σοῖς οἰκέταις καὶ δεῖξον σωτήριον, ἡμῖν ὁδὸν τοῖς ἐν χορῷ, μεγαλύνουσι Σὲ Θεονύμφευτε.

Διάσωσον, πνευματοκίνητε Μᾶρκε τοὺς σὲ ὑμνοῦντας, ἀπὸ πάσης ἐπιβουλῆς ἐχθροῦ τοῦ ἀλάστορος, ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Εὐαγγελίου σου Μᾶρκε πυρσεύμασι, Χριστοῦ θαυμάτων κηρύττοντος ἄβυσσον, σκεδάζεις ἡμῶν τὴν ἀσθένειαν, καὶ εὐφροσύνην παρέχεις καὶ δύναμιν, αὐτὸ ἀναγνῶσαι τοῖς σπεύδουσι

Προκείμενον: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.*

Στ.: *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (ι΄, 16-21):*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμη τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτοῖς νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Δόξα: *Ταῖς τοῦ Ἀποστόλου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μᾶρκε ἀξιάγαστε, τοῦ θείου Πνεύματος σκεῦος, διαυγὲς ὁμόζηλε, Ἀποστόλων πίστεως καὶ ἐπίσκοπε, πρῶτε τῆς πόλεως, τῆς Ἀλεξανδρείας, ὁ τὸν λέοντα ὡς σύμβολον ἔχων περίδοξον, τοῦ Εὐαγγελίου τοῦ θείου σου, τοὺς πόθῳ προσιόντας σοι, καὶ ἐξαιτουμένους

σὴν προστασίαν, τῶν θηρῶν παγίδων, ἐξάρπασον ταχὺ τῶν νοητῶν, καὶ βασιλεῦσαι ἀξίωσον, πάντας σὺν τῷ Κτίσαντι.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τοὺς καρποὺς σωτηρίας γεωργεῖν τὸν ἱκέτην τὸν σὸν ἐνίσχυσον, ὡς ἂν τῆς ἁμαρτίας, ἐκφύγω τὴν ἀπάτην, καὶ χαρᾶς τῆς ἀτέρμονος, ἐπαπολαύσω λιταῖς, ταῖς σαῖς θεόφρον Μᾶρκε

Ἀποστόλων οἰκεῖος ἐκ νεότητος Μᾶρκε ὀφθεὶς ἐζήλωσας, αὐτοῖς διακονῆσαι, καὶ τοῦ Χριστοῦ συγγράψαι, τὸ σεπτὸν Εὐαγγέλιον, οὗ καὶ ἡμᾶς τὰς ἀρχάς, ἀξίωσον τηρῆσαι.

Σὸν ἱμάτιον Μᾶρκε ὁ λιπὼν προδοσίας ἐν ὥρᾳ Κτίσαντος, Γεθσημανῇ ἐν κήπῳ, Αὐτοῦ ἵνα οἰκεῖος, μὴ γνωσθῇς καταξίωσον, ἄχρι θανάτου Χριστόν, ὁμολογεῖν με χαίρων.

*Θεοτοκίον.*

Ἀπειρόγαμε Κόρη ἐν χερσί Σου ὡς βρέφος Χριστὸν βαστάσασα, Ὃν ἔτεκες ἀφράστως, χειρῶν με τοῦ βελίαρ, τοῦ παγκάκου ἀπάλλαξον, ἐν ἀνομίας βυθῷ, ποθοῦντος φεῦ μὲ πνίξαι

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὑμνῶν σε Μᾶρκε, ὡς συγγραφέαν θεόπνουν, καὶ ποιμένα τῆς Ἀλεξανδρείας, πρῶτον ἐξαιτοῦμαι, τὰς πρὸς Θεὸν εὐχάς σου.

Τροφήν μοι πέμψον, ὑψόθεν Μᾶρκε ἀγήρω, βιοτῆς τὸν ὡς θεῖον τιμῶντα, χριστωνύμων πάντων, τῷ ὄντι τροφοδότην.

Ὁ ἐκ τῆς Κύπρου, καταγωγὴν ἕλκων Μᾶρκε, ἕλκυσόν με πρὸς πόλιν τὴν ἄνω, ἵνα σὺν Ἀγγέλοις, Χριστὸν ἀεὶ δοξάζω.

*Θεοτοκίον.*

Ὑψίστου θρόνε, περικλεὲς Θεοτόκε, ἀρετῆς θρόνους ποίησον πάντων, τῶν πιστῶν καρδίας, τῶν Σὲ μεγαλυνόντων.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μὴ διαλίπῃς Μᾶρκε, Ἀποστόλων γέρας, ἑνὶ ἑκάστῳ παρέχειν ἑκάστοτε, ἄμφω ὑγείαν ῥώμην ἰσχὺν καὶ δύναμιν.

Ἀγγέλων συμπολῖτα, Μᾶρκε θεολόγων, ἡ μεγαλόφωνος σάλπιγξ προσάγαγε, ἡμῶν αἰτήσεις Κυρίῳ τῷ παντοκράτορι.

Ἰχνηλατεῖν τὰς τρίβους, τῶν θεοκηρύκων, ἡμᾶς σεπτῶν Ἀποστόλων ἀξίωσον, ὧν ἠκολούθησας Μᾶρκε, ὁδοῖς γηθόμενος.

*Θεοτοκίον.*

Χαρᾶς μου τὴν καρδίαν, πλῆσον Θεοτόκε, τοῦ θείου Μάρκου πρεσβείαις καὶ δίωξον, ὁμίχλην ζοφώδη πασῶν μου θλίψεων.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις ὁ Ἀπόστολος τοῦ Χριστοῦ, πνευματοκινήτως, Εὐαγγέλιον ἱερόν, ὁ συγγράψας Μᾶρκε, πρὸς κόσμου σωτηρίαν, καὶ ἄνοδον πρὸς δόμους, ἀϊδιότητος.

Χαίρει σε τιμῶσα πανευλαβῶς, νῆσος τῶν Κυπρίων, ὡς συνέκδημον συνεργόν, καὶ πνευματοφόρον, ἀνεψιὸν Βαρνάβα, δοχεῖον Παρακλήτου, Μᾶρκε πανεύφημε.

Κλέϊσμα τοῦ θρόνου καὶ ἀπαρχή, τῆς Ἀλεξανδρείας, Μᾶρκε ὄνομα τοῦ Χριστοῦ, ἐν Νειλώᾳ χώρᾳ, ἐκήρυξας πανσόφως, καὶ ἔμψυχον ἀγέλη, ταύτης ἐποίμανας.

Πέτρου κορυφαίου σεπτὸς υἱός, ὤφθης κατὰ πνεῦμα, ὡς ἐκεῖνος ὁμολογεῖ, Μᾶρκε θεοφόρε, Εὐαγγελίου θείου, γραφεῦ καὶ Ἀποστόλων, πάντων ὁμόσκηνε.

Μὴ ἐλλίπῃς Μᾶρκε ἐκδυσωπῶν, τὸν Δεσπότην πάντων, καταπέμψαι ἡμῖν ταχύ, ἄφεσιν πταισμάτων, καὶ σωτηρίους δόσεις, τοῖς σὲ ὑμνολογοῦσιν, ὡς συμπαθέστατος.

Μᾶρκε Ἀποστόλων ἡ καλλονή, θείου σου Βαρνάβα, ἠκολούθησας ταῖς ὁδοῖς, καὶ αὐτοῦ τὸ σκῆνος,

κηδεῦσαι ἠξιώθης, πανευλαβῶς ἐν Κύπρῳ, τῇ νῦν τιμώσῃ σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Μᾶρκε, Ἀποστόλων συνεργέ, Πέτρου καὶ Βαρνάβα καὶ Παύλου, ὁ τὸ θεόπνευστον, γράψας Εὐαγγέλιον ἡμῶν τὴν δέησιν, τῶν τιμώντων σε πρόσδεξαι, καὶ ῥῦσαι θανάτου, τοῦ διαιωνίζοντος τοὺς εὐφημοῦντάς σε, ὥσπερ θείου Πνεύματος λύραν, τὴν πιστοὺς ἡδύνουσαν πάντας, θαύματα Χριστοῦ ἀναγιγνώσκοντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

